ἔχ' αὐτόν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
παρέστατ', ἀλλ' ἀρήγετ', ἔστ' ἐγὼ μόλω
τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.

Χο. τίς ἄρα νέατος ἐς πότε λή- στρ.
ξει πολυπλάγκτων ἐτέων ἀριθμός,
τὰν ἄπαυστον αἰὲν ἐμοὶ δορυσσοή-
των μόχθων ἄταν ἐπάγων
τάνδ' ἀν' εὐρυεδῆ Τροίαν,
δύστανον ὄνειδος Ἑλλάνων;

ὄφελε πρότερον αἰθέρα δῦ- ἀντ.
ναι μέγαν ἢ τὸν πολύκοινον Ἅιδαν
κεῖνος ἁνήρ, ὃς στυγερῶν ἔδειξεν ὅ-
πλων Ἕλλασιν κοινὸν Ἄρη.
ὦ πόνοι πρόγονοι πόνων.
κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.

ἐκεῖνος οὔτε στεφάνων στρ.
οὔτε βαθειᾶν κυλίκων
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον
δύσμορος οὔτ' ἐννυχίαν
τέρψιν ἰαύειν·
ἐρώτων δ'
ἐρώτων ἀπέπαυσεν, ὤ-

1182 τε] δὲ Blaydes 1183 sq. μόλω . . . μεληθεὶς (μόλω ex μολὼν factum L) codd. : μολὼν . . . μεληθῶ Etym. M. p. 382, 5 1186 πολυπλάγκτων L rec : πολυπλάκτων A rec : πολυστρόφων $A^s$ 1188 sq. δορυσσοήτων L $Lb^{ac}$ : δορυσσόντων A rec Suid s. v. 1190 ἀνὰ τὰν (τὴν A rec) εὐρώδη Τροίαν codd. (post Τροίαν add. ἠνεμόεσσαν rec) : corr. Lobeck (εὐρυεδῆ Musgrave): ἀν τὰν εὐρώδεα Τρωΐαν Ahrens : ἀν' ἀερώδεα Τρωΐαν G. Wolff (secundum Σ qui σκοτεινὴν καὶ ἀερώδεα τοῖς Ἕλλησι habet) Τροίαν] fort. χθόνα 1192 sq. ὄφελε rec : ὤφελε L A rec Σ Suid. s. v. 1195 ἀνήρ codd. Suid. ἔδειξ' T 1197 ὦ T : ἰὼ cett. 1199 ἐκεῖνος] κεῖνος rec οὔτε] οὐ Hermann 1202 ὄττοβον $L^s$ $A^s$ rec 1205 sq. ἐρώτων δ' ἐρώτων Γ : ἐρώτων ἐρώτων δ' L A rec